# 0345-0407 - Iohannes Chrysostomus - Contra haereticos et in sanctam deiparam

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 257 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] Xontra haereticos et in sanctam deiparamà

[00002] Κατὰ αἱρετικῶν, καὶ εἰς τὴν ἁγίαν Θεοτόκον.

59.709

[00003] αʹ.

[00004] Πάλιν τῇ παῤῥησίᾳ τοῦ ἁγίου Πνεύματος διασπῶν τὰς σειρὰς τῆς ἀμαθίας τὸν διδασκαλικὸν καταλαμβάνω θρόνον, οὐκ αἰδούμενός μου τὴν πτωχείαν·

[00005] φιλόπτωχοι γὰρ ὄντες οἰκτείρετέ με διὰ τὴν τῆς ἀγάπης φιλοτιμίαν.

[00006] Πένης γὰρ ὢν πλουσίοις ἐπεκτείνομαι, οὐκ ἀλαζονείας ὑποθέμενος νόσον, ἀλλὰ τῆς φιλοθέου ὑμῶν ψυχῆς ἀποπληρῶν τὸν ἔρωτα.

[00007] Τέρπεσθε γάρ μου τοῖς λόγοις, ἐπειδὴ κἀγὼ εὐφραίνομαι ὑμῶν τοῖς τρόποις.

[00008] Οὐκ οἶδά μου τὴν πτωχείαν, καὶ μογιλάλον φωνὴν, τὸ καλὸν τοῦτο καὶ ἐπέραστον θεωρῶν θέατρον.

[00009] Οἶδα γὰρ, ὡς οὐ κριταί [59.710] μου τῶν λόγων, ἢ θεαταὶ τῶν ἀγώνων συνέρχεσθε, ἀλλ' ἵνα τῷ παιδὶ ὡς πατέρες συνεπισχύσητε.

[00010] Ἐγὼ γὰρ τῇ γλώττῃ λαλῶ, ὑμεῖς δὲ τῇ καρδίᾳ φθέγγεσθε πρὸς τὸν Θεὸν τοῦτο, δοθῆναι ἡμῖν λόγον ἐν ἀνοίξει τοῦ στόματος·

[00011] φιλόπαιδες γὰρ ὄντες καὶ φιλότεκνοι τοὺς ἡμετέρους πόνους οἰκείους λογίζεσθε στεφάνους.

[00012] Διὸ οὐκ ὀκνῶ πρὸς τὸ λέγειν·

[00013] λύει γάρ μου τὸν ὄκνον ὁ περὶ ὑμᾶς πόθος, μεταβάλλει μου τὴν ἀμάθειαν εἰς ἐνάρετον διδασκαλίαν ἡ εὐαγὴς προσευχή.

[00014] Ἀλλὰ ταῦτα μὲν ἐν προοιμίῳ εἰρήσθω.

[00015] Ἐγὼ δὲ σήμερον περιζωσάμενος τὴν ὀσφὺν τῆς [59.711] ἀληθείας, καὶ ἐνδυσάμενος τὸν θώρακα τῆς δικαιοσύνης, καὶ ὑποδησάμενος τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ἄρχομαι κατὰ τῶν αἱρετικῶν ἀναδεξάμενος ἀγῶνα.

[00016] Ἐφάπτομαι τῶν ἀγώνων, οὐ λόγοις λόγους συνάπτων, οὐδὲ ῥητορικῇ δεινότητι τὰς σειρὰς τῶν προτάσεων διαλύων, ἀλλὰ τῇ τελείως ἐπαναγνωσθείσῃ φωνῇ τὰ εὐμήχανα τῶν αἱρετικῶν προβλήματα, ὡς ἱστὸν ἀράχνης, διασπῶν.

[00017] Ἔστι δὲ ἀποστολικὸν ἀνάγνωσμα τοῦτο·

[00018] Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ! ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! Τί λέγεις, ὦ Παῦλε;

[00019] ὁ πλοῦτος τοῦ Θεοῦ ἐν βάθει κεῖται, καὶ ἐν ὕψει γνωρίζεται;

[00020] Ναὶ, φησὶ, καὶ ἐν βάθει, καὶ ἐν ὕψει·

[00021] ἐν βάθει μὲν διὰ τὴν ἀνθρωπότητα, ἐν ὕψει δὲ διὰ τὴν θεότητα.

[00022] Οὕτω γὰρ διὰ τοῦ προφήτου ἀποκαλύπτων τὴν οἰκονομίαν ἔλεγε πρὸς Ἄχαζ·

[00023] Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος·

[00024] εἰς βάθος μὲν, διὰ τὴν οἰκονομίαν, εἰς ὕψος δὲ, διὰ τὴν θεολογίαν.

[00025] Βαθὺ μὲν γὰρ σημεῖον τὸ ἐκ Παρθένου τεχθῆναι, ὑψηλὸν δὲ κήρυγμα καὶ τὸ ἐκ Θεοῦ Θεὸν γεννηθῆναι.

[00026] Οὔτε οὖν τὸ ὕψος, ἄνθρωπε, περιεργαζόμενος καταλαμβάνεις, οὔτε τὸ βάθος πολυπραγμονῶν εὑρίσκεις.

[00027] Σεπταὶ γάρ εἰσιν αἱ τοῦ Χριστοῦ γεννήσεις·

[00028] ἡ μὲν γάρ ἐστι κατὰ φύσιν, ἡ δὲ παρὰ φύσιν.

[00029] Παρὰ φύσιν γὰρ ἐν ὑστέροις καιροῖς ἐκ τῆς Παρθένου ἐτέχθη, κατὰ φύσιν δὲ πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς ἐτέχθη, ὡς ὁ γεννήσας οἶδε.

[00030] Καὶ ἡ ἄνω γέννησις ἀψευδής.

[00031] Ἀληθῶς γὰρ ἐκ Θεοῦ Θεὸς ἐγεννήθη, ἀληθῶς ἐκ τῆς Παρθένου ἄνθρωπος ὁ Θεὸς μετὰ ἀνθρώπων ἐτέχθη·

[00032] ἄνω μόνος ἐκ μόνου Μονογενὴς, καὶ κάτω μόνος ἐκ μόνης Μονογενής·

[00033] καὶ ὥσπερ ἐπὶ τῆς ἄνω γεννήσεως ἀσεβές ἐστιν ὑπονοῆσαι μητέρα, οὕτω καὶ ἐπὶ τῆς Παρθένου βλάσφημόν ἐστιν ὑπονοῆσαι πατέρα.

[00034] Ὁ Πατὴρ ἀῤῥεύστως ἐγέννησεν, ἡ Παρθένος ἀφθόρως ἔτεκεν.

[00035] Οὔτε γὰρ Θεὸς ῥεῦσιν ὑπέμεινε γεννήσας·

[00036] θεοπρεπῶς γὰρ ἐγέννησεν·

[00037] οὔτε ἡ Παρθένος φθορὰν ὑπέστη τεκοῦσα·

[00038] πνευματικῶς γὰρ ἔτεκεν.

[00039] Ὢ καινοῦ θαύματος! ὢ σεπτοῦ καὶ ἀλαλήτου μυστηρίου! Τολμῶ γὰρ εἰπεῖν, ὅπερ λέγων οὐ σφάλλομαι·

[00040] ὅτι καὶ ἄνω παρθένος ἐγέννησε φύσις καθαρὰ γάρ ἐστι καὶ ἄφθορος ἡ τῆς θεότητος οὐσία, καὶ κάτω Παρθένος ἔτεκεν ἄφθορος ἄφθορον·

[00041] Οὐ δώσεις γὰρ τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν.

[00042] Ὅταν ἡ φύσις τάξει βαίνῃ, τότε τὰ κατὰ φύσιν ζήτει, ἄνθρωπε·

[00043] ὅταν δὲ Θεός τι προστάσσῃ, τότε ἡ φύσις τὴν ἑαυτῆς ἀρνεῖται τάξιν, καὶ ἐκεῖνα πράττει, ἅπερ ὁ τοῦ Θεοῦ βούλεται νόμος.

[00044] Οἷόν τι λέγω·

[00045] Ἐκέλευσεν ὁ Θεὸς τῇ πέτρᾳ ἐν τῇ ἐρήμῳ ἐκβλύσαι ὕδωρ, καὶ ἔβλυσεν, οὐχ ὃ εἶχεν ἐν κόλποις, ἀλλ' ὃ ἐναπέθετο τὸ πρόσταγμα.

[00046] Ὥσπερ οὖν ἡ πέτρα νεύματι τοῦ Θεοῦ πηγὴ γέγονε, καὶ τῇ φορᾷ τῶν ὑδάτων χειμάῤῥους ἔτεκεν, οὐ φλεβὸς ὑποκειμένης, οὐ παρὰ ποταμοῦ δανεισαμένη, ἀλλ' ἡ ξηρὰ καὶ ἄφλεβος καὶ ἄνυγρος ἄφνω γέγονε ποταμῶν μήτηρ, ἀφθόνως προχέουσα ὅπερ οὐκ ἔσχεν ὕδωρ·

[00047] οὕτω καὶ ἡ ἀπειρόγαμος Παρθένος τῇ ἐπισκιάσει τοῦ ἁγίου Πνεύματος τὸν Κύριον ἡμῶν ἔτεκε κατὰ σάρκα, οὐ τάξει φύσεως κινηθεῖσα, ἀλλὰ τῇ δυνάμει τοῦ Ὑψίστου ἐπὶ τὸ τεκεῖν ἐλθοῦσα.

[00048] Οὐ γὰρ δανεισαμένη παρὰ τὸν νόμον τῆς φύσεως ἔτεκεν, ἀλλὰ δυναμωθεῖσα τῷ ἁγίῳ Πνεύματι οὕτως ἔτεκεν, ὥσπερ ἡ τοῦ Θεοῦ χάρις ἠθέλησε.

[00049] Πνεῦμα γὰρ, φησὶν, ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι·

[00050] διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ.

[00051] Εἰ δὲ θέλεις γνῶναι, πῶς ἡ φύσις ἀρνεῖται τὴν ἑαυτῆς τάξιν, ἵνα παρὰ φύσιν ὑπηρετήσῃ τῇ τοῦ Θεοῦ βουλῇ, ἐρώτησον τὴν ῥάβδον τὴν Ἀαρών·

[00052] Εἰπὲ, ἡ ῥάβδος ἡ ξηρὰ, πῶς φύλλα καὶ καρπὸν ἐν ἀκαριαίᾳ ῥοπῇ παρὰ φύσιν ἐβλάστησας;

[00053] Οὐ τῇ γῇ Μωϋσῆς σε προέθετο, οὐκ ὄμβροις ἤρδευσεν, οὐ χρόνος τὰς ῥίζας ἔθρεψεν, οὐ θέρος εἶδες ἢ ἔαρ, οὐ χειμῶνος ἀπήλαυσας, ἢ μετοπώρου·

[00054] πῶς οὖν φύλλα, καὶ ἄνθη, καὶ καρπὸν ἔδωκας;

[00055] Καὶ ἡ ῥάβδος, Οὐ τροπαῖς, φησὶν, ἀέρων ἢ μεταβολαῖς καιρῶν ἐδούλευσα, ἀλλὰ τῷ θείῳ ὑπηρετησαμένη λόγῳ τὴν φύσιν ἐπάτησα, καὶ παρὰ φύσιν καρπὸν ἔδωκα, ἵνα καὶ κατὰ φύσιν καὶ παρὰ φύσιν τῷ τοῦ ἀριστοτέχνου ὑπηρετήσωμεν θελήματι.

[00056] Ὥσπερ οὖν ἡ ῥάβδος παρὰ φύσιν καρπὸν ἔδωκεν, ἄνθρωπε, ἵνα πιστεύσῃ ἡ Ἰουδαία·

[00057] οὕτω καὶ ἡ ζῶσα ῥάβδος, ἡ βασιλικὴ Παρθένος, ἄνευ γαμικῶν νόμων ἔτεκεν, ἵνα σωθῇ ἡ οἰκουμένη.

[00058] βʹ.

[00059] Εἰ δὲ λέγεις, Τί ὅμοιον ῥάβδος βλαστάνουσα πρὸς Παρθένον τίκτουσαν;

[00060] μάνθανε, ὡς πάνυ τὴν ὁμοιότητα σώ [59.712] ζει.

[00061] Ἡ γὰρ ῥάβδος τύπος ἦν τῆς Παρθένου·

[00062] ἐκείνη εἰκὼν, αὕτη ἡ ἀλήθεια·

[00063] καὶ τὸ προλαβὸν ὑπόδειγμα, τοῦτο ἀπόδειξις.

[00064] Ὥσπερ γὰρ ἐκείνη ἡ ῥάβδος καρπὸν ἔδωκε παρὰ φύσιν, οὕτω καὶ ὧδε παρὰ φύσιν ἡ Παρθένος τὸ ἄνθος τῆς εὐσεβείας ἐβλάστησεν Ἐξελεύσεται γὰρ, φησὶ, ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται.

[00065] Μὴ μάτην οὖν ὁ Παῦλος τὸν πλοῦτον τοῦ Θεοῦ θαυμάζει, τουτέστι, τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Χριστοῦ;

[00066] Φεῦ τῆς ἀπιστίας τῶν αἱρετικῶν! φεῦ τούτων τῆς λύσσης καὶ θεομάχου γλώσσης! Παῦλος, ὁ τῶν οὐρανῶν πολίτης, ὁ τοῦ παραδείσου θεατὴς, ὁ τοῦ Χριστοῦ διάπυρος ἐραστὴς, ὁ τῶν ἀλαλήτων μυστηρίων ἀκροατὴς, καὶ τὴν οἰκονομίαν ζητήσας ἔφριξε καὶ ἰλιγγίασε·

[00067] καὶ ὑμεῖς τὴν θεότητα διερμηνεύοντες οὐ φρίττετε;

[00068] Παῦλος τὰ κρίματα τοῦ Θεοῦ ἀνεξερεύνητα λέγει·

[00069] καὶ σὺ τὴν φύσιν τοῦ Πατρὸς ὡς εὐθήρατον ἐρευνᾷς;

[00070] Καιρὸς δέ σε καλέσαι, σκυθρωπάσαντα ἐπαναστρέψαι κατὰ τῶν ὑπὸ σοῦ ἀφράστως εἰρημένων.

[00071] Πῶς ἔτεκεν ἡ Παρθένος οὐκ οἶδας, καὶ πῶς ἐγέννησεν ὁ Θεὸς εἰδέναι βούλει;

[00072] τὴν ἐν τῇ Ἡρώδου κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ἀγνοεῖς πῶς γέγονε, καὶ τὴν ἐκ Πατρὸς ἀνάρχως καὶ ἀνερμηνεύτως καὶ σεπτῶς καὶ ἀλαλήτως πρὸ πάσης ἐννοίας καὶ καιρῶν καὶ αἰώνων ἀμεσιτεύτως γεγενημένην ἑρμηνεύειν τολμᾷς, καὶ δοκιμάζειν ἐπιχειρεῖς;

[00073] Εἰ τὸ σταυρωθὲν σῶμα τοῦ Χριστοῦ Θωμᾶς ψηλαφήσας ἀναπαίδευτος οὐκ ἔμεινε, καί γε ἀπόστολος ὤν·

[00074] ποίας εἰσὶ τιμωρίας ἄξιοι οἱ μὴ χειρὶ τὸ σῶμα ψηλαφῶντες τοῦ Χριστοῦ, ἀλλὰ τῇ γλώττῃ τὴν ἀΐδιον τῆς θεότητος αὐτοῦ διερευνῶντες φύσιν;

[00075] Θωμᾶς γὰρ καὶ ὃ εἶδε σῶμα, ἐψηλάφησεν·

[00076] οὗτοι δὲ ἣν μὴ εἶδον θεότητα, ὡς ἑωρακότες ἐξηρεύνησαν.

[00077] Εἰπὲ δὲ, ὦ δεινὲ καὶ εὐμήχανε ῥῆτορ Εὐνόμιε, ὁ τριχῶς τὴν τῆς θεότητος διακρίνων φύσιν, ὁ μικροῦ πάλιν βραχύτερον ἀναπλάττων θεοὺς, διὰ τί κτίσμα, καὶ οὐ γέννημα τὸν Χριστὸν λέγεις;

[00078] Ἵνα μὴ, φησὶ, ῥεύσεως ἔννοιαν τῇ ἀκτίστῳ τοῦ Θεοῦ προσψαύσω φύσει·

[00079] τὸν γὰρ γεννῶντα ἀνάγκη ὑπομεῖναι ῥεῦσιν.

[00080] Οὐκοῦν καὶ κτίζοντα ἀκόλουθον ὑπομεῖναι πόνον.

[00081] Ὁ γὰρ κτίζων, ἀκόπως οὐ κτίζει.

[00082] Εἰ τοίνυν τῆς ῥεύσεως ἔννοιαν φυγὼν, τὸν Πατέρα Πατέρα εἰπεῖν παραιτεῖς, μήτε δημιουργὸν αὐτὸν εἴπῃς, ἵνα μὴ πόνων καὶ ἱδρώτων ὑπόνοιαν ἐπιῤῥίψῃς.

[00083] Ἀλλ' οὐχ οἵαν, φησὶ, δόξαν περὶ ἀνθρώπων ἔχομεν, τοιαύτην καὶ περὶ Θεοῦ ἐκλαμβάνειν ὀφείλομεν.

[00084] Ἄνθρωποι γὰρ κτίζοντες, πόνῳ καὶ ἱδρῶτι κτίζουσι·

[00085] Θεὸς δὲ κτίζων, ἀπόνως κτίζει·

[00086] ἀσύνθετος γάρ ἐστι τὴν φύσιν.

[00087] Ἐπεὶ οὖν, ὦ σοφὲ καὶ ἐπιστήμων, ὁ κτίζων Θεὸς κτίζει ἀπόνως, ἀῤῥεύστως γεννᾷν οὐ δύναται;

[00088] ἀλλ' ὅτε μὲν κτίζει, ἀπόνως ὁ Θεὸς κτίζει, ὅτε δὲ γεννᾷ, ὡς ἄνθρωπος ὑπομένει ῥεῦσιν;

[00089] καὶ δημιουργῶν μὲν ἀπαθὴς μένει, γεννῶν δὲ ἀνθρωπίνῳ περιπίπτει πάθει;

[00090] Φρίττω, καὶ δεδιῶ, καὶ τρέμω τὴν βλάσφημον, τὴν ἀθύρωτον, τὴν ἀχαλίνωτον τῶν αἱρετικῶν γλῶτταν, ἐννοῶν, ὅτι ἀφθάρτως ἡ Παρθένος ἔτεκε, πιστεύουσι, καὶ ὅτι Θεὸς ἀῤῥεύστως ἐγέννησεν, ἀμφιβάλλουσιν.

[00091] Ἡ ἄφθορος τῆς Παρθένου μήτρα καὶ μετὰ τὸ τεκεῖν ἄλυτος ἔμεινεν, ἄνθρωπε, καὶ ἡ τοῦ Πατρὸς φύσις ἐν τῷ γεννᾷν τὴν ῥεῦσιν οὐ διέφυγεν;

[00092] Ἀλλ' ἡ Παρθένος καὶ μετὰ τὸ τεκεῖν παρθένος ἔμεινεν, ἐκ τοῦ τεκεῖν μὴ ζημιωθεῖσα τὴν παρθενίαν·

[00093] καὶ ὁ Πατὴρ μετὰ τὸ γεννῆσαι ὁ αὐτὸς μεῖναι οὐκ ἠδύνατο, ἀῤῥεύστου καὶ ἀναλλοιώτου τῆς οὐσίας μενούσης;

[00094] Καὶ ὅπου μὲν ὄγκος σώματος, μελῶν ἁρμονία, ὀστέων σύνθεσις, νευρῶν τάξις, φλεβῶν πλήθη, ἄρθρων δεσμοὶ, τὸ βρέφος ἐξῆλθεν ὡς οἶδε, καὶ ἐν τῇ παρθενικῇ ἀποῤῥήτως ἑαυτὸν ὑφάνας γαστρί·

[00095] ὅπου δὲ οὐ σῶμα, οὐ μέλος, οὐκ ἄρθρα, οὐ νεῦρα, οὐκ ὀστέα, οὐ φλέβες, ἀλλ' ἀναφὴς καὶ ἀσώματος καὶ ἀόρατος φύσις, ῥεῦσιν εἰσάγεις καὶ μείωσιν νοεῖς;

[00096] Καὶ προῆλθεν ἐκ μήτρας, καὶ ἄλυτος ἔμεινεν ἡ μήτρα.

[00097] Ὁ γὰρ ἄνευ σπέρματος ἐν τῇ Παρθένῳ ἐμψυχώσας ἑαυτῷ ναὸν, αὐτὸς καὶ ἄλυτον διετήρησε τὴν μήτραν, ὡς Θεός.

[00098] Τὰ γὰρ ἔργα τοῦ Θεοῦ οὐ τῇ φύσει τῶν πραγμάτων δουλεύει, ἀλλὰ τῇ κελεύσει τοῦ Θεοῦ Λόγου ἐξακολουθεῖ.

[00099] Ποτὲ μὲν γὰρ ὁ Θεὸς κατὰ φύσιν κτίζει, ἵνα γνῷς τῆς φύσεως τὴν εὐταξίαν·

[00100] ποτὲ δὲ παρὰ φύσιν δημιουργεῖ, ἵνα μάθῃς τοῦ ἐνεργοῦντος τὴν δύναμιν.

[00101] Οὔτε γὰρ πάντα κατὰ φύσιν γίνεται, ἵνα μὴ θεολογηθῇ ἡ φύσις, οὔτε πάντα παρὰ φύσιν, ἵνα μὴ ἀταξία τῆς φύσεως νομισθῇ τὰ παρὰ φύσιν πραττόμενα.

[00102] Πλάττει δὲ Θεὸς κατὰ φύσιν, δημιουργεῖ καὶ παρὰ φύσιν, ἵνα μάθῃς ὡς ἡ φύσις θερα [59.713] παινίδος τάξιν ἐπέχουσα κατὰ φύσιν κινεῖται, καὶ παρὰ φύσιν τρέχει, πρόσταγμα πληροῦσα Θεοῦ.

[00103] γʹ.

[00104] Εἰπὲ δὲ, ὁ ζητῶν, πῶς ὁ Χριστὸς ἐκ τῆς ἀλύτου μήτρας προελθὼν οὐκ ἠφάνισε τὴν σφραγῖδα τῆς παρθενίας, πῶς ἐκ τοῦ παρθενικοῦ Ἀδὰμ ἡ παρθένος Εὔα προῆλθε.

[00105] Ἡ Θεοτόκος γὰρ Μαρία μὴ γνοῦσα ἄνδρα, ἄνδρα ἔτεκεν, ὁ πρωτόπλαστος Ἀδὰμ μὴ γνοὺς γυναῖκα, γυναῖκα ἐβλάστησεν.

[00106] Ἀλλὰ τὸ μὲν παρθένον γεννῆσαι, εἰ καὶ παράδοξον, ἀλλ' ὅμως ἔχεται λόγου, καθ' ὃ γαστὴρ καὶ μήτρα καὶ φυσικὴ τοῖς τικτομένοις προτετύπωται ὁδός·

[00107] ἐπὶ δὲ τοῦ Ἀδὰμ πάντα ξένα.

[00108] Τίς γὰρ εἶδεν ἀπὸ πλευρᾶς τικτόμενον ἄνθρωπον;

[00109] πότε δὲ πλευρὰ συνεισήνεγκε καρποφορίαν;

[00110] Ὕπνον ἐπέβαλε τῷ Ἀδὰμ ὁ Θεὸς, ἵνα μὴ λυπηθῇ διὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς, ἀλλ' ὅμως ὕπνωσεν αὐτοῦ τὰ δεσμά·

[00111] δεσμὰ γάρ εἰσι τῆς φύσεως τὰ νεῦρα.

[00112] Καὶ μάρτυς Δανιὴλ λέγων, Καὶ εἶδον τὴν ὀπτασίαν, καὶ ἔπεσα·

[00113] καὶ οἱ σύνδεσμοί μοι τῆς ὀσφύος διελύθησαν.

[00114] Πλευρὰν οὖν νόμῳ φύσεως ἠσφαλισμένην, δεσμοῖς νεύρων συμπεπλεγμένην, σαρξὶν ὑφασμένην, φλεψὶν ἡνωμένην πῶς ἐξεῖλε;

[00115] πῶς ἀπέσπασε;

[00116] πῶς καὶ ἡ πλευρὰ ἐξῆλθε, καὶ ὁ Ἀδὰμ σῶος ἔμεινε;

[00117] Πῶς;

[00118] Ὁ λύσας οἶδεν·

[00119] ὁ λύσας καὶ ἔδησεν.

[00120] Εἰ μὲν γὰρ ἄλλος ὁ δήσας, καὶ ἄλλος ὁ λύσας, ζήτημα ἦν·

[00121] εἰ δὲ ὁ ἁρμόσας ἔλυσε, καὶ ὁ πλευρὰν ἐκ γῆς πλάσας, τὴν πλευρὰν ἀφείλατο, ἐκεῖνος μόνος οἶδε, πῶς ἔλυσεν, ὁ καὶ μόνος ἐπιστάμενος, πῶς τὴν τῶν μελῶν ἁρμονίαν συνέθηκεν.

[00122] Ὥσπερ οὖν καὶ μετὰ τὴν ἀφαίρεσιν τῆς πλευρᾶς σῶος ἔμεινεν ὁ Ἀδὰμ, οὕτω καὶ μετὰ τὴν πρόοδον τοῦ βρέφους ἄφθορος ἔμεινεν ἡ Παρθένος.

[00123] Οὔτε γὰρ ἡ τῶν τοῦ Ἀδὰμ ἐβλάβη ἁρμονία, ληφθείσης τῆς πλευρᾶς, οὔτε τῆς παρθενίας ὑβρίσθη ἡ σφραγὶς, προελθόντος τοῦ βρέφους.

[00124] Καθάπερ γὰρ ἐφ' ἡμῶν ἐάν τις ἀλλότριον δεσμὸν λῦσαι θελήσῃ, ἀφανίζει αὐτὸν, καὶ συγκόπτει δι' ἀπειρίαν, ὁ δὲ δήσας ἀκόπως λύει οἶδε γὰρ ὧν ἔδησε τὴν ἁρμονίαν·

[00125] οὕτω καὶ ὁ Θεὸς ὁ ἁρμόσας, ὁ συσφίγξας, ὁ κομβώσας τὸ σῶμα, καὶ τοὺς συνδέσμους τῶν νεύρων ᾔδει, καὶ πῶς συνῆψε πλευρὰν πρὸς πλευρὰν, καὶ ἄρθρον, καὶ μέλος·

[00126] καὶ ἐξ ὧν παρέδησεν, ἐπιστημόνως καὶ πανσόφως ἐπῆρε πλευρὰν, καὶ οὐκ ἐμείωσε τὸν Ἀδάμ.

[00127] Ἔπλασεν αὐτὸν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐν τῇ Παρθένῳ, καὶ οὔτε τὴν παρθενίαν πλάττων διέλυσεν, οὔτε διὰ τῆς μήτρας προελθὼν τὴν μήτραν διέφθειρεν.

[00128] Εἰπὲ οὖν, ὦ σοφὲ καὶ ἐπιστήμων τί εὐκοπώτερόν ἐστι, παρθένον τεκεῖν, καὶ μετὰ τὸ τεκεῖν παρθένον πάλιν μεῖναι·

[00129] ἢ ῥάβδον εἰς ζῶον ψυχωθῆναι, καὶ ἀπὸ ζώου πάλιν ῥάβδον γενέσθαι;

[00130] Πῶς ἡ ῥάβδος Μωϋσέως εἰς δράκοντα μετεβλήθη;

[00131] πῶς τὸ ἄψυχον ψυχὴν ἔλαβε;

[00132] πῶς τὸ ἀκίνητον ἐπὶ γῆς εἶρπε;

[00133] πῶς δὲ πάλιν ἀπὸ δράκοντος ῥάβδος γέγονε, τὴν οἰκείαν ἐπιγνοὺς φύσιν;

[00134] Ποτὲ μὲν γὰρ ἀπὸ ῥάβδου δράκων, ποτὲ δὲ ἀπὸ δράκοντος ῥάβδος ἐγένετο.

[00135] Ὥσπερ οὖν ἡ Μωϋσέως ῥάβδος, ἄνθρωπε, κατὰ φύσιν μὲν ἦν ῥάβδος, κατ' οἰκονομίαν δὲ δράκων·

[00136] [59.714] οὕτω καὶ ἡ Μαρία κατὰ φύσιν μὲν ἦν παρθένος, κατ' οἰκονομίαν δὲ μήτηρ ἐγένετο, ἵνα πιστεύσωσι τῶν Χαλδαίων οἱ μάγοι, καθάπερ, ἵνα φοβηθῇ Αἴγυπτος, ἡ ῥάβδος δράκων ἐγένετο.

[00137] Τοιγαροῦν ἵνα σωθῇ ἡ οἰκουμένη, οὐκ ἤθελες σὺ τὴν Παρθένον φανῆναι;

[00138] Εἶτα δὲ σεισμῶν γινομένων διαιροῦνται τοῖχοι καὶ συνάπτονται·

[00139] Χριστοῦ δὲ τικτομένου οὐκ ἠνοίγετο μήτρα, καὶ πάλιν ὑφαίνεται;

[00140] Καὶ ἐν σεισμοῖς μὲν οὕτω διαιροῦνται τοῖχοι, ὡς καὶ θάνατον ἀπειλεῖν·

[00141] οὕτω δὲ ἑνοῦνται, ὡς μηδὲ σχῆμα ἢ ἴχνος φαίνεσθαι τῆς διαιρέσεως·

[00142] ἐπὶ δὲ τῆς ἀφθάρτου ἐκείνης γεννήσεως οὐκ ἤθελες λυθῆναι μὲν τὴν μήτραν πρὸς τιμὴν τοῦ τικτομένου, συνελθεῖν δὲ καὶ ἑνωθῆναι καὶ τὸ τῆς παρθενίας ἀπολαβεῖν σχῆμα δυνάμει τοῦ ἐνεργοῦντος;

[00143] Καὶ μή μοι λέγε·

[00144] Πόθεν ὑπέστη σὰρξ καὶ αἷμα, σπέρματος μὴ ὑποκειμένου;

[00145] Ἔστι γὰρ ἐκ τῶν καθ' ἡμᾶς μαθεῖν τὸ ὑπὲρ ἡμᾶς.

[00146] Καὶ κάλει μοι εἰς εἰκόνας τῶν λεγομένων τοὺς τῶν ζωγράφων παῖδας, οἳ πολλάκις καὶ φυτὰ καὶ δένδρα καὶ λειμῶνας καὶ ποταμοὺς ζωγραφοῦσιν, καὶ ἐπειδὰν δὴ τὴν φύσιν συνεργοῦσαν οὐκ ἔχουσι, τέχνῃ βιάζονται τῇ κράσει τῶν χρωμάτων τὰς τῶν πραγμάτων παριστᾷν εἰκόνας.

[00147] Ποιοῦσι γὰρ ποταμὸν, παρὰ ποταμῶν μὴ δανειζόμενοι ῥεῖθρον·

[00148] ποιοῦσιν ἄνθρωπον, μηδὲν παρὰ τῆς ἀνθρωπίνης ἐρανιζόμενοι φύσεως.

[00149] Ὥσπερ οὖν οἱ ζωγράφοι διὰ τῶν χρωμάτων καὶ ἄνθρωπον καὶ πηγὴν καὶ ποταμὸν ζωγραφοῦσι, μηδὲν παρὰ πηγῆς ἢ ποταμοῦ ἢ ἀνθρώπου λαμβάνοντες·

[00150] τὸν αὐτὸν τρόπον καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν τῇ Παρθένῳ οὐ χρώμασιν, ἀλλὰ βουλῇ ἔμψυχον κατεσκεύασεν ἄνθρωπον, παρὰ τῆς ἀνθρωπίνης φύσεως μὴ ἐρανισάμενος σπέρμα εἰς σύστασιν τοῦ πλαττομένου.

[00151] Ὁ Θεὸς χοῦν λαβὼν ἀπὸ τῆς γῆς, οὐ χερσὶν ἀνθρωπίναις ἀσύνθετος γὰρ τῆς θεότητος ἡ φύσις τὸν Ἀδὰμ ἐμόρφωσεν ὡς ἠθέλησε·

[00152] τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐ χοῦν ἔλαβεν, οὐ φυσικῷ νόμῳ καταβληθῆναι σπέρμα συνεχώρησεν, ἀλλὰ μόνον ἐπέλαμψε, καὶ ὀστέα ἔπηξε, καὶ νεῦρα ἔτεινε, καὶ ῥῖνα καὶ ὦτα, ὀφθαλμούς τε καὶ γλῶτταν χεῖρας καὶ πόδας, ψυχὴν καὶ νοῦν καὶ λογισμὸν καὶ λόγον συνεστήσατο, κἂν μὴ βούλωνται οἱ αἱρετικῶν παῖδες.

[00153] Ὥσπερ γὰρ οἱ ἐν κατόπτρῳ ἐγκύπτοντες εἰκόνα ἀντεγειρομένην αὐτῶν ὁρῶσι τῇ ὄψει ἐκ τῆς ἀμόρφου ὕλης, εἰκόνα γελῶσαν πολλάκις, καὶ κλαίουσαν, κινουμένην τε καὶ πολυτρόπως μετερχομένην, καὶ τῆς ζώσης μορφῆς τὰ σχήματα μιμουμένην·

[00154] οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν καθαρῷ κατόπτρῳ, τῷ ἀσπίλῳ σώματι τῆς Παρθένου ἔλαμψε, τέλειον ἐδημιούργησεν ἄνθρωπον οὐ νόμῳ φύσεως, οὐ χρόνῳ, οὐκ ἀνθρωπίνῳ σπέρματι, ἀλλ' ὄψει μόνον, νοερᾷ τε καὶ ἁγίᾳ δυνάμει πρὸς ὠδῖνας τὴν Παρθένον ἐκίνησεν, ἀποῤῥήτως ἐν αὐτῇ τὸ βρέφος ὑφάνας, ὡς ἱμάτιον, ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων.

[00155] Ταῦτα μὲν οὕτως·

[00156] ἡμεῖς δὲ ὑπὲρ τῶν εἰρημένων δόξαν τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι Θεῷ ἀναπέμψωμεν, ὅτι αὐτῷ ἡ δόξα καὶ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00157] Ἀμήν.

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Contra haereticos et in sanctam deiparam**
**Litterarum Omnium Conspectus: 124 Litterae, quae repetitae sunt in 11,574 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 767 | Α | 0913 | 2 |
| β | 0946 | 76 | Β | 0914 | 1 |
| γ | 0947 | 207 | Γ | 0915 | 0 |
| δ | 0948 | 208 | Δ | 0916 | 0 |
| ε | 0949 | 697 | Ε | 0917 | 13 |
| ζ | 0950 | 40 | Ζ | 0918 | 0 |
| η | 0951 | 157 | Η | 0919 | 0 |
| θ | 0952 | 199 | Θ | 0920 | 41 |
| ι | 0953 | 439 | Ι | 0921 | 0 |
| κ | 0954 | 361 | Κ | 0922 | 14 |
| λ | 0955 | 270 | Λ | 0923 | 1 |
| μ | 0956 | 337 | Μ | 0924 | 8 |
| ν | 0957 | 1,023 | Ν | 0925 | 1 |
| ξ | 0958 | 35 | Ξ | 0926 | 0 |
| ο | 0959 | 702 | Ο | 0927 | 13 |
| π | 0960 | 356 | Π | 0928 | 56 |
| ρ | 0961 | 467 | Ρ | 0929 | 0 |
| ς | 0962 | 482 | • | 0930 | 0 |
| σ | 0963 | 421 | Σ | 0931 | 1 |
| τ | 0964 | 774 | Τ | 0932 | 8 |
| υ | 0965 | 170 | Υ | 0933 | 2 |
| φ | 0966 | 145 | Φ | 0934 | 2 |
| χ | 0967 | 62 | Χ | 0935 | 11 |
| ψ | 0968 | 31 | Ψ | 0936 | 0 |
| ω | 0969 | 187 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 9 | | | 0 |
| ῥ | 8165 | 41 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 148 | έ | 8051 | 156 | ή | 8053 | 62 | ί | 8055 | 139 | ό | 8057 | 109 | ύ | 8059 | 123 | ώ | 8061 | 33 |
| ὰ | 8048 | 141 | ὲ | 8050 | 71 | ὴ | 80852 | 86 | ὶ | 8054 | 175 | ὸ | 8056 | 114 | ὺ | 8058 | 13 | ὼ | 8060 | 8 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 74 | ῖ | 8150 | 59 | | | 0 | ῦ | 8166 | 121 | ῶ | 8182 | 108 |
| ἀ | 7936 | 123 | ἐ | 7952 | 130 | ἠ | 7968 | 6 | ἰ | 7984 | 56 | ὀ | 8000 | 9 | ὐ | 8016 | 78 | ὠ | 8032 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἁ | 7937 | 12 | ἑ | 7953 | 9 | ἡ | 7969 | 53 | ἱ | 7985 | 20 | ὁ | 8001 | 41 | ὑ | 8017 | 34 | ὡ | 8033 | 16 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 9 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 2 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 1 | ὃ | 8003 | 4 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 42 | ἔ | 7956 | 47 | ἤ | 7972 | 3 | ἴ | 7988 | 4 | ὄ | 8004 | 7 | ὔ | 8020 | 11 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 6 | ἕ | 7957 | 0 | ἥ | 7973 | 0 | ἵ | 7989 | 16 | ὅ | 8005 | 14 | ὕ | 8021 | 24 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 4 | ἶ | 7990 | 15 | | | 0 | ὖ | 8022 | 11 | ὦ | 8038 | 5 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 3 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 1 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 7 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 20 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 8 | | | 0 | ῇ | 8135 | 36 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 17 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Contra haereticos et in sanctam deiparam**
**Verborum Omnium Conspectus: 1,010Verba, quae repetita sunt in 916,017 occasionibus**

---

**α** [00003]
**ἀΐδιον** [00074]
**Ἀαρών** [00051]
**ἀγάπης** [00005]
**ἁγίᾳ** [00154]
**ἁγίαν** [00002]
**ἅγιον** [00049] [00050] [00150] [00152] [00154]
**ἁγίου** [00004] [00047]
**ἁγίῳ** [00048] [00156]
**ἀγνοεῖς** [00072]
**ἀγῶνα** [00015]
**ἀγώνων** [00009] [00016]
**Ἀδὰμ** [00104] [00105] [00107] [00110] [00116] [00122] [00123] [00151]
**Ἀδάμ** [00126]
**ἀέρων** [00055]
**ἀθύρωτον** [00090]
**αἱ** [00018] [00027]
**Αἴγυπτος** [00136]
**αἰδούμενός** [00004]
**αἷμα** [00144]
**αἱρετικῶν** [00002] [00015] [00016] [00066] [00090] [00152]
**Αἴτησαι** [00023]
**αἰῶνας** [00156]
**αἰώνων** [00029] [00072] [00156]
**ἀκαριαίᾳ** [00052]
**ἀκίνητον** [00132]
**ἀκόλουθον** [00080]
**ἀκόπως** [00081] [00124]
**ἀκροατὴς** [00066]
**ἀκτίστῳ** [00078]
**ἀλαζονείας** [00006]

**ἀλαλήτου** [00039]
**ἀλαλήτων** [00066]
**ἀλαλήτως** [00072]
**ἀλήθεια** [00062]
**ἀληθείας** [00015]
**ἀληθῶς** [00031]
**Ἀληθῶς** [00031]
**ἀλλ** [00009] [00045] [00046] [00088] [00095] [00106] [00110] [00154]
**Ἀλλ** [00083] [00092]
**ἀλλὰ** [00006] [00016] [00047] [00048] [00055] [00074] [00098] [00150] [00152]
**Ἀλλὰ** [00014] [00106]
**ἄλλος** [00120] [00120]
**ἀλλότριον** [00124]
**ἄλυτον** [00097]
**ἄλυτος** [00091] [00096]
**ἀλύτου** [00104]
**ἀμάθειαν** [00013]
**ἀμαθίας** [00004]
**ἀμεσιτεύτως** [00072]
**Ἀμήν** [00157]
**ἀμόρφου** [00153]
**ἀμφιβάλλουσιν** [00090]
**ἀναβήσεται** [00064]
**ἀνάγκη** [00079]
**ἀνάγνωσμα** [00017]
**ἀναδεξάμενος** [00015]
**ἀναλλοιώτου** [00093]
**ἀναπαίδευτος** [00073]
**ἀναπέμψωμεν** [00156]
**ἀναπλάττων** [00077]
**ἀνάρχως** [00072]
**ἀναφὴς** [00095]
**ἄνδρα** [00105] [00105]
**ἀνεξερεύνητα** [00018] [00068]
**ἀνεξιχνίαστοι** [00018]
**ἀνερμηνεύτως** [00072]
**ἄνευ** [00057] [00097]
**ἄνθη** [00054]
**ἄνθος** [00064] [00064]
**ἄνθρωπε** [00026] [00042] [00056] [00091] [00135]
**ἀνθρωπίναις** [00151]
**ἀνθρωπίνης** [00148] [00150]
**ἀνθρωπίνῳ** [00089] [00154]
**Ἄνθρωποι** [00084]
**ἄνθρωπον** [00108] [00148] [00149] [00150] [00154]
**ἄνθρωπος** [00031] [00088]
**ἀνθρωπότητα** [00021]
**ἀνθρώπου** [00149]
**ἀνθρώπων** [00031] [00083] [00154]
**ἀνοίξει** [00010]
**ἀντεγειρομένην** [00153]
**ἄνυγρος** [00046]
**ἄνω** [00030] [00032] [00033] [00040]
**ἄξιοι** [00074]
**ἀόρατος** [00095]
**ἀπαθὴς** [00089]
**ἀπειλεῖν** [00140]
**ἀπειρίαν** [00124]
**ἀπειρόγαμος** [00047]
**ἅπερ** [00043]
**ἀπέσπασε** [00115]
**ἀπήλαυσας** [00053]
**ἀπιστίας** [00066]
**ἀπόδειξις** [00063]
**ἀποκαλύπτων** [00022]
**ἀπολαβεῖν** [00142]
**ἀπόνως** [00085] [00087] [00088]
**ἀποπληρῶν** [00006]
**ἀποῤῥήτως** [00094] [00154]
**ἀποστολικὸν** [00017]
**ἀπόστολος** [00073]
**ἀράχνης** [00016]
**ἄρθρα** [00095]
**ἄρθρον** [00125]
**ἄρθρων** [00094]
**ἀριστοτέχνου** [00055]
**ἁρμονία** [00094] [00123]
**ἁρμονίαν** [00121] [00124]
**ἁρμόσας** [00121] [00125]
**ἀρνεῖται** [00043] [00051]
**ἀῤῥεύστου** [00093]
**ἀῤῥεύστως** [00034] [00087] [00090]
**ἄρχομαι** [00015]
**ἀσεβές** [00033]
**ἀσπίλῳ** [00154]
**ἀσύνθετος** [00086] [00151]
**ἀσώματος** [00095]
**ἀταξία** [00101]
**αὐτῇ** [00154]
**αὕτη** [00062]
**αὐτῆς** [00064]
**αὐτὸν** [00082] [00124] [00127] [00150]
**αὐτὸς** [00093] [00097]
**αὐτοῦ** [00018] [00018] [00074] [00110]
**αὐτῷ** [00156]
**αὐτῶν** [00153]
**ἀφαίρεσιν** [00110] [00122]
**ἀφανίζει** [00124]
**ἀφείλατο** [00121]
**ἀφθάρτου** [00142]
**ἀφθάρτως** [00090]
**ἀφθόνως** [00046]
**ἄφθορον** [00040]
**ἄφθορος** [00040] [00040] [00091] [00122]
**ἀφθόρως** [00034]
**ἄφλεβος** [00046]
**ἄφνω** [00046]
**ἀφράστως** [00070]
**Ἄχαζ** [00022]
**ἀχαλίνωτον** [00090]
**ἀψευδής** [00030]
**ἄψυχον** [00131]

**β** [00058]

**βάθει** [00019] [00020] [00021]
**βάθος** [00018] [00023] [00024] [00026]
**Βαθὺ** [00025]
**βαίνῃ** [00042]
**βασιλικὴ** [00057]
**βιάζονται** [00146]
**βλαστάνουσα** [00059]
**βλάσφημόν** [00033]
**βλάσφημον** [00090]
**βούλει** [00071]
**βούλεται** [00043]
**βουλῇ** [00051] [00150]
**βούλωνται** [00152]
**βραχύτερον** [00077]
**βρέφος** [00094] [00154]
**βρέφους** [00122] [00123]

γ [00103]
**γαμικῶν** [00057]
**γὰρ** [00005] [00006] [00009] [00010] [00011] [00022] [00025] [00029] [00031] [00035] [00036] [00038] [00039] [00041] [00048] [00049] [00061] [00064] [00064] [00075] [00079] [00081] [00084] [00097] [00098] [00099] [00101] [00105] [00108] [00120] [00123] [00124] [00124] [00134] [00145] [00147] [00151] [00153]
**γάρ** [00007] [00013] [00027] [00028] [00040] [00086] [00111]
**γαστὴρ** [00106]
**γαστρί** [00094]
**γε** [00073]
**γεγενημένην** [00072]
**γέγονε** [00046] [00046] [00072] [00133]
**γελῶσαν** [00153]
**γενέσθαι** [00129]
**γεννᾷ** [00088]
**γεννᾷν** [00087] [00091]
**γεννηθῆναι** [00025]
**γέννημα** [00077]
**γεννῆσαι** [00093] [00106]
**γεννήσας** [00029] [00035]
**γεννήσεις** [00027]
**γεννήσεως** [00033] [00142]
**γέννησιν** [00072]
**γέννησις** [00030]
**γεννώμενον** [00050]
**γεννῶν** [00089]
**γεννῶντα** [00079]
**γῇ** [00053]
**γῆς** [00121] [00132] [00151]
**γίνεται** [00101]
**γινομένων** [00138]
**γλώσσης** [00066]
**γλῶτταν** [00090] [00152]
**γλώττῃ** [00010] [00074]
**γνοὺς** [00105]
**γνοῦσα** [00105]
**γνῶναι** [00051]
**γνωρίζεται** [00019]
**γνῷς** [00099]
**γνώσεως** [00018]
**γυναῖκα** [00105] [00105]

**δανειζόμενοι** [00147]
**δανεισαμένη** [00046] [00048]
**Δανιὴλ** [00112]
δὲ [00010] [00015] [00017] [00021] [00024] [00025] [00028] [00029] [00043] [00051] [00059] [00076] [00077] [00085] [00088] [00089] [00095] [00100] [00102] [00104] [00107] [00109] [00121] [00124] [00133] [00134] [00135] [00136] [00138] [00139] [00141] [00142] [00142] [00152] [00156]
**δέ** [00070]
**δεδιῶ** [00090]
**δεινὲ** [00077]
**δεινότητι** [00016]
**δένδρα** [00146]
**δεσμὰ** [00111]
**δεσμά** [00110]
**δεσμοὶ** [00094]
**δεσμοῖς** [00114]
**δεσμὸν** [00124]
**δὴ** [00146]
**δημιουργεῖ** [00100] [00102]
**δημιουργὸν** [00082]
**δημιουργῶν** [00089]
**δήσας** [00120] [00124]
**δι** [00124] [00156]
**διὰ** [00005] [00021] [00021] [00022] [00024] [00024] [00077] [00110] [00127] [00149]
**διαιρέσεως** [00141]
**διαιροῦνται** [00138] [00140]
**διακρίνων** [00077]
**διαλύων** [00016]
**διάπυρος** [00066]
**διασπῶν** [00004] [00016]
**διαφθοράν** [00041]
**διδασκαλίαν** [00013]
**διδασκαλικὸν** [00004]
**διελύθησαν** [00113]
**διέλυσεν** [00127]
**διερευνῶντες** [00074]
**διερμηνεύοντες** [00067]
**διετήρησε** [00097]
**διέφθειρεν** [00127]
**διέφυγεν** [00091]
**δικαιοσύνης** [00015]
**Διὸ** [00012]
**διὸ** [00050]
**δοθῆναι** [00010]
**δοκιμάζειν** [00072]
**δόξα** [00156]
**δόξαν** [00083] [00156]
**δουλεύει** [00098]
**δράκοντα** [00130]
**δράκοντος** [00133] [00134]
**δράκων** [00134] [00135] [00136]
**δυνάμει** [00047] [00142] [00154]
**δύναμιν** [00100]
**δύναμις** [00049]
**δυναμωθεῖσα** [00048]
**δύναται** [00087]
**δώσεις** [00041]

**ἐάν** [00124]
**ἔαρ** [00053]
**ἑαυτῆς** [00043] [00051]
**ἑαυτὸν** [00094]
**ἑαυτῷ** [00097]
**ἐβλάβη** [00123]
**ἐβλάστησας** [00052]
**ἐβλάστησεν** [00064] [00105]
**ἔβλυσεν** [00045]
**ἐγένετο** [00134] [00136] [00136]
**ἐγεννήθη** [00031]
**ἐγέννησε** [00040]
**ἐγέννησεν** [00034] [00036] [00071] [00090]
**ἐγκύπτοντες** [00153]
**Ἐγὼ** [00010] [00015]
**ἐδημιούργησεν** [00154]
**ἔδησε** [00124]
**ἔδησεν** [00119]
**ἐδούλευσα** [00055]
**ἔδωκα** [00055]
**ἔδωκας** [00054]
**ἔδωκε** [00064]
**ἔδωκεν** [00056]
**ἔθρεψεν** [00053]
**Εἰ** [00051] [00059] [00073] [00082] [00120]
**εἰ** [00106] [00121]
**εἶδε** [00075]
**εἶδεν** [00108]
**εἰδέναι** [00071]
**εἶδες** [00053]
**εἶδον** [00076] [00112]
**εἰκόνα** [00153] [00153]
**εἰκόνας** [00146] [00146]
**εἰκὼν** [00062]
**Εἰπὲ** [00052] [00077] [00104] [00128]
**εἰπεῖν** [00039] [00082]
**εἴπῃς** [00082]
**εἰρημένων** [00070] [00156]
**εἰρήνης** [00015]
**εἰρήσθω** [00014]
**εἷρπε** [00132]
**εἰς** [00002] [00013] [00023] [00023] [00024] [00024] [00129] [00130] [00146] [00150] [00156]
**εἰσάγεις** [00095]
**εἰσὶ** [00074]
**εἰσι** [00111]
**εἰσιν** [00027]
**Εἶτα** [00138]
**εἶχεν** [00045]
**ἐκ** [00025] [00025] [00029] [00029] [00031] [00031] [00032] [00032] [00064] [00072] [00092] [00096] [00104] [00104] [00121] [00145] [00153]
**ἐκβλύσαι** [00045]
**ἐκεῖνα** [00043]
**ἐκείνη** [00062] [00064]
**ἐκείνης** [00142]
**ἐκεῖνος** [00121]
**Ἐκέλευσεν** [00045]
**ἐκίνησεν** [00154]
**ἐκλαμβάνειν** [00083]
**ἔλαβε** [00131]
**ἔλαβεν** [00152]
**ἔλαμψε** [00154]
**ἔλεγε** [00022]
**ἐλθοῦσα** [00047]
**ἔλυσε** [00121]
**ἔλυσεν** [00121]
**ἔμεινε** [00073] [00116]
**ἔμεινεν** [00091] [00092] [00096] [00122] [00122]
**ἐμείωσε** [00126]
**ἐμόρφωσεν** [00151]
**ἔμψυχον** [00150]
**ἐμψυχώσας** [00097]
**ἐν** [00010] [00014] [00015] [00019] [00019] [00020] [00020] [00021] [00021] [00029] [00045] [00045] [00052] [00072] [00091] [00094] [00097] [00127] [00140] [00150] [00153] [00154] [00154]
**ἐνανθρωπήσαντι** [00156]
**ἐναπέθετο** [00045]
**ἐνάρετον** [00013]
**ἐνδυσάμενος** [00015]
**ἐνεργοῦντος** [00100] [00142]
**ἔννοιαν** [00078] [00082]
**ἐννοίας** [00072]
**ἐννοῶν** [00090]
**ἑνοῦνται** [00141]
**ἔνσαρκον** [00065]
**ἑνωθῆναι** [00142]
**ἐξ** [00064] [00126]
**ἐξακολουθεῖ** [00098]
**ἐξεῖλε** [00114]
**Ἐξελεύσεται** [00064]
**ἐξῆλθε** [00116]
**ἐξῆλθεν** [00094]
**ἐξηρεύνησαν** [00076]
**ἐπαναγνωσθείσῃ** [00016]
**ἐπαναστρέψαι** [00070]
**ἐπάτησα** [00055]
**ἐπέβαλε** [00110]
**Ἐπεὶ** [00087]
**ἐπειδὰν** [00146]
**ἐπειδὴ** [00007]
**ἐπεκτείνομαι** [00006]
**ἐπέλαμψε** [00152]
**ἐπελεύσεται** [00049]
**ἐπέραστον** [00008]
**ἔπεσα** [00112]
**ἐπέχουσα** [00102]
**ἔπηξε** [00152]
**ἐπῆρε** [00126]
**ἐπὶ** [00033] [00033] [00047] [00049] [00107] [00132] [00142] [00154]
**ἐπιγνοὺς** [00133]
**ἐπιῤῥίψῃς** [00082]
**ἐπισκιάσει** [00047] [00049]
**ἐπιστάμενος** [00121]
**ἐπιστημόνως** [00126]
**ἐπιστήμων** [00087] [00128]
**ἐπιχειρεῖς** [00072]
**Ἔπλασεν** [00127]
**ἐρανιζόμενοι** [00148]

**ἐρανισάμενος** [00150]
**ἐραστὴς** [00066]
**ἔργα** [00098]
**ἐρευνᾷς** [00069]
**ἐρήμῳ** [00045]
**ἑρμηνεύειν** [00072]
**ἔρωτα** [00006]
**ἐρώτησον** [00051]
**ἐστι** [00028] [00040] [00086] [00128]
**Ἔστι** [00017] [00145]
**ἐστιν** [00033] [00033]
**ἔσχεν** [00046]
**ἔτεινε** [00152]
**ἔτεκε** [00047] [00090]
**ἔτεκεν** [00034] [00038] [00040] [00046] [00048] [00048] [00057] [00071] [00105]
**ἐτέχθη** [00029] [00029] [00031]
**ἑτοιμασίᾳ** [00015]
**Εὔα** [00104]
**Εὐαγγελίου** [00015]
**εὐαγὴς** [00013]
**εὐθήρατον** [00069]
**εὐκοπώτερόν** [00128]
**εὐμήχανα** [00016]
**εὐμήχανε** [00077]
**Εὐνόμιε** [00077]
**εὑρίσκεις** [00026]
**εὐσεβείας** [00064]
**εὐταξίαν** [00099]
**εὐφραίνομαι** [00007]
**ἐφ** [00124]
**Ἐφάπτομαι** [00016]
**ἔφριξε** [00066]
**ἔχεται** [00106]
**ἔχομεν** [00083]
**ἔχουσι** [00146]
**ἐψηλάφησεν** [00075]
**ἑωρακότες** [00076]

**ζει** [00060]
**ζημιωθεῖσα** [00092]
**ζήτει** [00042]
**ζήτημα** [00120]
**ζητήσας** [00066]
**ζητῶν** [00104]
**ζωγράφοι** [00149]
**ζωγραφοῦσι** [00149]
**ζωγραφοῦσιν** [00146]
**ζωγράφων** [00146]
**ζῶον** [00129]
**ζώου** [00129]
**ζῶσα** [00057]
**ζώσης** [00153]

**ἡ** [00013] [00028] [00028] [00030] [00034] [00037] [00040] [00042] [00043] [00046] [00046] [00047] [00048] [00051] [00052] [00052] [00055] [00056] [00056] [00057] [00057] [00057] [00062] [00064] [00064] [00071] [00090] [00091] [00092] [00096] [00101] [00102] [00104] [00116] [00122] [00123] [00123] [00130] [00135] [00136] [00136] [00137] [00151] [00156]
**ἢ** [00009] [00023] [00053] [00053] [00055] [00129] [00141] [00149] [00149]
**Ἡ** [00061] [00091] [00105]
**ᾔδει** [00125]
**ἠδύνατο** [00093]
**ἤθελες** [00137] [00142]
**ἠθέλησε** [00048] [00151]
**ἡμᾶς** [00145] [00145] [00156]
**ἡμεῖς** [00156]
**ἡμετέρους** [00011]
**ἡμῖν** [00010]
**ἡμῶν** [00047] [00124]
**ἣν** [00076]
**ἦν** [00061] [00120] [00135] [00136]
**ἠνοίγετο** [00139]
**ἡνωμένην** [00114]
**ἤρδευσεν** [00053]
**Ἡρώδου** [00072]
**ἠσφαλισμένην** [00114]
**ἠφάνισε** [00104]

**θάνατον** [00140]
**θαυμάζει** [00065]
**θαύματος** [00039]
**θεαταὶ** [00009]
**θεατὴς** [00066]
**θέατρον** [00008]
**θείῳ** [00055]
**θέλεις** [00051]
**θελήματι** [00055]
**θελήσῃ** [00124]
**θεολογηθῇ** [00101]
**θεολογίαν** [00024]
**θεομάχου** [00066]
**Θεὸν** [00010] [00025]
**θεοπρεπῶς** [00036]
**Θεὸς** [00031] [00031] [00035] [00045] [00071] [00085] [00087] [00088] [00090] [00099] [00102] [00110] [00125] [00151]
**Θεός** [00043] [00097]
**θεότητα** [00021] [00067] [00076]
**θεότητος** [00040] [00074] [00077] [00151]
**Θεοτόκον** [00002]
**Θεοτόκος** [00105]
**Θεοῦ** [00018] [00019] [00023] [00025] [00031] [00043] [00046] [00048] [00050] [00051] [00065] [00068] [00078] [00083] [00098] [00098] [00102] [00127]
**θεοὺς** [00077]
**θερα** [00102]
**θέρος** [00053]
**Θεῷ** [00156]
**θεωρῶν** [00008]
**θρόνον** [00004]
**Θωμᾶς** [00073] [00075]
**θώρακα** [00015]

**ἰδεῖν** [00041]
**ἱδρῶτι** [00084]

**ἱδρώτων** [00082]
**Ἰεσσαὶ** [00064]
**ἰλιγγίασε** [00066]
**ἱμάτιον** [00154]
**ἵνα** [00009] [00051] [00055] [00056] [00057] [00082] [00099] [00100] [00101] [00101] [00102] [00110] [00136] [00136] [00137]
**Ἵνα** [00078]
**Ἰουδαία** [00056]
**ἱστὸν** [00016]
**ἴχνος** [00141]

**κἀγὼ** [00007]
**καθ** [00106] [00145]
**Καθάπερ** [00124]
**καθάπερ** [00136]
**καθαρὰ** [00040]
**καθαρῷ** [00154]
**καινοῦ** [00039]
**καιροῖς** [00029]
**Καιρὸς** [00070]
**καιρῶν** [00055] [00072]
**κάλει** [00146]
**καλέσαι** [00070]
**καλὸν** [00008]
**κἂν** [00152]
**καρδίᾳ** [00010]
**καρπὸν** [00052] [00054] [00055] [00056] [00064]
**καρποφορίαν** [00109]
**κατ** [00135] [00136]
**καταβληθῆναι** [00152]
**καταλαμβάνεις** [00026]
**καταλαμβάνω** [00004]
**κατεσκεύασεν** [00150]
**κατόπτρῳ** [00153] [00154]
**κάτω** [00032] [00040]
**κεῖται** [00019]
**κελεύσει** [00098]
**κήρυγμα** [00025]
**κινεῖται** [00102]
**κινηθεῖσα** [00047]
**κινουμένην** [00153]
**κλαίουσαν** [00153]
**κληθήσεται** [00050]
**κόλποις** [00045]
**κομβώσας** [00125]
**κράσει** [00146]
**κρίματα** [00018] [00068]
**κριταί** [00009]
**κτίζει** [00081] [00085] [00087] [00088] [00088] [00099]
**κτίζοντα** [00080]
**κτίζοντες** [00084]
**κτίζουσι** [00084]
**κτίζων** [00081] [00085] [00087]
**κτίσμα** [00077]
**Κύριον** [00047]
**Κυρίου** [00023]

**λαβὼν** [00151]
**λαλῶ** [00010]
**λαμβάνοντες** [00149]
**λέγε** [00143]
**λέγει** [00068]
**λέγειν** [00012]
**λέγεις** [00018] [00059] [00077]
**λεγομένων** [00146]
**λέγω** [00044]
**λέγων** [00039] [00112]
**λειμῶνας** [00146]
**ληφθείσης** [00123]
**λογίζεσθε** [00011]
**λογισμὸν** [00152]
**λόγοις** [00007] [00016]
**λόγον** [00010] [00152]
**Λόγου** [00098]
**λόγου** [00106]
**λόγους** [00016]
**λόγῳ** [00055]
**λόγων** [00009]
**λύει** [00013] [00124]
**λυθῆναι** [00142]
**λυπηθῇ** [00110]
**λῦσαι** [00124]
**λύσας** [00118] [00119] [00120]
**λύσσης** [00066]

**μάγοι** [00136]
**μαθεῖν** [00145]
**μάθῃς** [00100] [00102]
**μάνθανε** [00060]
**Μαρία** [00105] [00136]
**μάρτυς** [00112]
**μάτην** [00065]
**με** [00005]
**μεῖναι** [00093] [00128]
**μείωσιν** [00095]
**μέλος** [00095] [00125]
**μελῶν** [00094] [00121]
**μὲν** [00014] [00021] [00024] [00025] [00028] [00088] [00089] [00094] [00099] [00106] [00120] [00134] [00135] [00136] [00140] [00142] [00155]
**μένει** [00089]
**μενούσης** [00093]
**μεταβάλλει** [00013]
**μεταβολαῖς** [00055]
**μετεβλήθη** [00130]
**μετερχομένην** [00153]
**μετοπώρου** [00053]
**μηδὲ** [00141]
**μηδὲν** [00148] [00149]
**μήτε** [00082]
**μητέρα** [00033]
**μήτηρ** [00046] [00136]
**μήτρα** [00091] [00096] [00106] [00139]

**μήτραν** [00097] [00127] [00142]
**μήτρας** [00096] [00104] [00127]
**μικροῦ** [00077]
**μιμουμένην** [00153]
**μογιλάλον** [00008]
**μοι** [00113] [00143] [00146]
**μόνης** [00032]
**Μονογενὴς** [00032]
**Μονογενής** [00032]
**μονογενὴς** [00127]
**μόνον** [00152] [00154]
**μόνος** [00032] [00032] [00121] [00121]
**μόνου** [00032]
**μορφῆς** [00153]
**μου** [00004] [00007] [00008] [00009] [00013] [00013]
**μυστηρίου** [00039]
**μυστηρίων** [00066]
**Μωϋσέως** [00130] [00135]
**Μωϋσῆς** [00053]

**Ναὶ** [00020]
**ναὸν** [00097]
**νεύματι** [00046]
**νεῦρα** [00095] [00111] [00152]
**νεύρων** [00114] [00125]
**νευρῶν** [00094]
**νοεῖς** [00095]
**νοερᾷ** [00154]
**νομισθῇ** [00101]
**νόμον** [00048]
**νόμος** [00043]
**νόμῳ** [00114] [00152] [00154]
**νόμων** [00057]
**νόσον** [00006]
**νοῦν** [00152]

**ξένα** [00107]
**ξηρὰ** [00046] [00052]

**ὁ** [00013] [00019] [00029] [00031] [00043] [00045] [00065] [00066] [00066] [00066] [00066] [00071] [00077] [00077] [00087] [00088] [00093] [00093] [00099] [00104] [00104] [00105] [00110] [00116] [00119] [00120] [00120] [00121] [00121] [00121] [00122] [00124] [00125] [00125] [00125] [00125] [00127]
**ὃ** [00045] [00045] [00075] [00106]
**Ὁ** [00034] [00081] [00097] [00118] [00151]
**ὄγκος** [00094]
**ὁδοὶ** [00018]
**ὁδός** [00106]
**οἱ** [00074] [00113] [00136] [00149] [00152] [00153]
**οἳ** [00146]
**οἵαν** [00083]
**Οἶδα** [00009]
**οἶδά** [00008]
**οἶδας** [00071]
**οἶδε** [00029] [00094] [00121] [00124]
**οἶδεν** [00118]
**οἰκείαν** [00133]
**οἰκείους** [00011]
**οἰκονομίαν** [00022] [00024] [00065] [00066] [00135] [00136]
**οἰκουμένη** [00057] [00137]
**οἰκτείρετέ** [00005]
**Οἷόν** [00044]
**ὄκνον** [00013]
**ὀκνῶ** [00012]
**ὄμβροις** [00053]
**ὅμοιον** [00059]
**ὁμοιότητα** [00060]
**ὅμως** [00106] [00110]
**ὄντες** [00005] [00011]
**ὅπερ** [00039] [00046]
**ὅπου** [00094] [00095]
**ὀπτασίαν** [00112]
**ὁρῶσι** [00153]
**Ὅσιόν** [00041]
**ὀστέα** [00095] [00152]
**ὀστέων** [00094]
**ὀσφὺν** [00015]
**ὀσφύος** [00113]
**ὅταν** [00043]
**Ὅταν** [00042]
**ὅτε** [00088] [00088]
**ὅτι** [00040] [00090] [00090] [00156]
**Οὐ** [00041] [00048] [00053] [00055]
**οὐ** [00009] [00016] [00039] [00046] [00046] [00047] [00053] [00053] [00053] [00067] [00077] [00081] [00087] [00091] [00095] [00095] [00095] [00095] [00098] [00150] [00151] [00152] [00152] [00154] [00154]
**οὐδὲ** [00016]
**Οὐκ** [00008]
**οὐκ** [00004] [00006] [00012] [00046] [00053] [00071] [00073] [00093] [00095] [00095] [00104] [00126] [00137] [00139] [00142] [00146] [00154]
**Οὐκοῦν** [00080]
**οὖν** [00026] [00046] [00054] [00056] [00065] [00087] [00114] [00122] [00128] [00135] [00149]
**οὐρανῶν** [00066]
**οὐσία** [00040]
**οὐσίας** [00093]
**Οὔτε** [00026] [00035] [00101] [00123]
**οὔτε** [00026] [00037] [00101] [00123] [00127] [00127]
**οὗτοι** [00076]
**Οὕτω** [00022]
**οὕτω** [00033] [00047] [00057] [00064] [00122] [00125] [00136] [00140] [00141] [00154]
**οὕτως** [00048] [00155]
**οὐχ** [00045] [00083]
**ὀφείλομεν** [00083]
**ὀφθαλμούς** [00152]
**ὄψει** [00153] [00154]

**πάθει** [00089]
**παῖδας** [00146]
**παῖδες** [00152]
**παιδὶ** [00009]
**παινίδος** [00102]
**Πάλιν** [00004]
**πάλιν** [00077] [00128] [00129] [00133] [00139]

**πανσόφως** [00126]
**πάντα** [00101] [00101] [00107]
**πάνυ** [00060]
**Παρὰ** [00029]
**παρὰ** [00023] [00028] [00046] [00048] [00051] [00052] [00055] [00055] [00056] [00064] [00064] [00100] [00101] [00101] [00102] [00102] [00147] [00148] [00149] [00150]
**παραδείσου** [00066]
**παράδοξον** [00106]
**παραιτεῖς** [00082]
**παρέδησεν** [00126]
**παρθενίαν** [00092] [00127]
**παρθενίας** [00104] [00123] [00142]
**παρθενικῇ** [00094]
**παρθενικοῦ** [00104]
**Παρθένον** [00059] [00137] [00154]
**παρθένον** [00106] [00128] [00128]
**Παρθένος** [00034] [00037] [00040] [00047] [00057] [00064] [00071] [00090] [00092] [00122]
**παρθένος** [00040] [00092] [00104] [00136]
**Παρθένου** [00025] [00029] [00031] [00033] [00061] [00091] [00154]
**Παρθένῳ** [00097] [00127] [00150]
**παριστᾷν** [00146]
**παῤῥησίᾳ** [00004]
**πάσης** [00072]
**Πατέρα** [00082] [00082]
**πατέρα** [00033]
**πατέρες** [00009]
**Πατὴρ** [00034] [00093]
**Πατρὶ** [00156]
**Πατρὸς** [00029] [00069] [00072] [00091]
**Παῦλε** [00018]
**Παῦλος** [00065] [00066] [00068]
**Πένης** [00006]
**περὶ** [00013] [00083] [00083]
**περιεργαζόμενος** [00026]
**περιζωσάμενος** [00015]
**περιπίπτει** [00089]
**πέτρᾳ** [00045]
**πέτρα** [00046]
**πηγὴ** [00046]
**πηγὴν** [00149]
**πηγῆς** [00149]
**πιστεύουσι** [00090]
**πιστεύσῃ** [00056]
**πιστεύσωσι** [00136]
**πλάσας** [00121]
**Πλάττει** [00102]
**πλαττομένου** [00150]
**πλάττων** [00127]
**πλευρὰ** [00109] [00116]
**Πλευρὰν** [00114]
**πλευρὰν** [00121] [00121] [00125] [00125] [00126]
**πλευρᾶς** [00108] [00110] [00122] [00123]
**πλήθη** [00094]
**πληροῦσα** [00102]
**πλουσίοις** [00006]
**πλοῦτον** [00065]
**πλοῦτος** [00019]
**πλούτου** [00018]
**Πνεῦμα** [00049] [00150] [00152] [00154]
**Πνεύματι** [00048] [00156]
**πνευματικῶς** [00038]
**Πνεύματος** [00004] [00047]
**πόδας** [00015] [00152]
**Πόθεν** [00144]
**πόθος** [00013]
**ποίας** [00074]
**Ποιοῦσι** [00147]
**ποιοῦσιν** [00148]
**πολίτης** [00066]
**πολλάκις** [00146] [00153]
**πολυπραγμονῶν** [00026]
**πολυτρόπως** [00153]
**πόνον** [00080]
**πόνους** [00011]
**πόνῳ** [00084]
**πόνων** [00082]
**ποταμὸν** [00147] [00149]
**ποταμοῦ** [00046] [00149]
**ποταμοὺς** [00146]
**ποταμῶν** [00046] [00147]
**Ποτὲ** [00099] [00134]
**πότε** [00109]
**ποτὲ** [00100] [00134]
**πραγμάτων** [00098] [00146]
**πράττει** [00043]
**πραττόμενα** [00101]
**πρὸ** [00029] [00072]
**προβλήματα** [00016]
**προέθετο** [00053]
**προελθόντος** [00123]
**προελθὼν** [00104] [00127]
**προῆλθε** [00104]
**προῆλθεν** [00096]
**προλαβὸν** [00063]
**πρόοδον** [00122]
**προοιμίῳ** [00014]
**πρὸς** [00010] [00012] [00022] [00059] [00125] [00142] [00154]
**προσευχή** [00013]
**πρόσταγμα** [00045] [00102]
**προστάσση** [00043]
**προσψαύσω** [00078]
**προτάσεων** [00016]
**προτετύπωται** [00106]
**προφήτου** [00022]
**προχέουσα** [00046]
**πρωτόπλαστος** [00105]
**πτωχείαν** [00004] [00008]
**Πῶς** [00071] [00117] [00130]
**πῶς** [00051] [00052] [00054] [00071] [00072] [00104] [00104] [00114] [00115] [00116] [00121] [00121] [00125] [00131] [00132] [00133]

**ῥάβδον** [00051] [00129] [00129]
**ῥάβδος** [00052] [00055] [00056] [00057] [00059] [00061] [00064] [00064] [00130] [00133] [00134] [00135] [00135] [00136]
**ῥάβδου** [00134]
**ῥεῖθρον** [00147]
**ῥεύσεως** [00078] [00082]

**ῥεῦσιν** [00035] [00079] [00088] [00091] [00095]
**ῥῆτορ** [00077]
**ῥητορικῇ** [00016]
**ῥίζας** [00053]
**ῥίζης** [00064]
**ῥῖνα** [00152]
**ῥοπῇ** [00052]

**σάρκα** [00047] [00072]
**σὰρξ** [00144]
**σαρξὶν** [00114]
**σὲ** [00049]
**σε** [00053] [00070]
**σεαυτῷ** [00023]
**σειρὰς** [00004] [00016]
**σεισμοῖς** [00140]
**σεισμῶν** [00138]
**Σεπταὶ** [00027]
**σεπτοῦ** [00039]
**σεπτῶς** [00072]
**σημεῖον** [00023] [00025]
**σήμερον** [00015]
**σκυθρωπάσαντα** [00070]
**σοι** [00049]
**σοῦ** [00070]
**σου** [00023] [00041]
**σοφὲ** [00087] [00128]
**σοφίας** [00018]
**σπέρμα** [00150] [00152]
**σπέρματι** [00154]
**σπέρματος** [00097] [00144]
**σταυρωθὲν** [00073]
**στεφάνους** [00011]
**στόματος** [00010]
**σὺ** [00069] [00137]
**συγκόπτει** [00124]
**συμπεπλεγμένην** [00114]
**συνάπτονται** [00138]
**συνάπτων** [00016]
**σύνδεσμοί** [00113]
**συνδέσμους** [00125]
**συνέθηκεν** [00121]
**συνεισήνεγκε** [00109]
**συνελθεῖν** [00142]
**συνεπισχύσητε** [00009]
**συνεργοῦσαν** [00146]
**συνέρχεσθε** [00009]
**συνεστήσατο** [00152]
**συνεχώρησεν** [00152]
**συνῆψε** [00125]
**σύνθεσις** [00094]
**σύστασιν** [00150]
**συσφίγξας** [00125]
**σφάλλομαι** [00039]
**σφραγῖδα** [00104]
**σφραγὶς** [00123]
**σχῆμα** [00141] [00142]
**σχήματα** [00153]
**σώ** [00060]
**σωθῇ** [00057] [00137]
**σῶμα** [00073] [00074] [00075] [00095] [00125]
**σώματι** [00154]
**σώματος** [00094]
**σῶος** [00116] [00122]
**σωτηρίᾳ** [00154]

**Τὰ** [00098]
**τὰ** [00016] [00018] [00042] [00068] [00101] [00110] [00111] [00153]
**τάξει** [00042] [00047]
**τάξιν** [00043] [00051] [00102]
**τάξις** [00094]
**τὰς** [00004] [00016] [00053] [00146]
**Ταῦτα** [00155]
**ταῦτα** [00014]
**τε** [00152] [00153] [00154]
**τεκεῖν** [00047] [00091] [00092] [00092] [00128] [00128]
**τεκοῦσα** [00037]
**τέλειον** [00154]
**τελείως** [00016]
**Τέρπεσθε** [00007]
**τεχθῆναι** [00025]
**τέχνη** [00146]
**τῇ** [00004] [00010] [00010] [00016] [00045] [00045] [00046] [00047] [00047] [00051] [00053] [00072] [00074] [00078] [00094] [00097] [00098] [00098] [00127] [00146] [00150] [00153]
**τὴν** [00002] [00004] [00005] [00008] [00013] [00015] [00021] [00021] [00022] [00024] [00024] [00043] [00051] [00051] [00051] [00055] [00060] [00065] [00066] [00067] [00069] [00072] [00072] [00074] [00077] [00086] [00090] [00090] [00090] [00091] [00092] [00097] [00099] [00100] [00104] [00110] [00112] [00121] [00121] [00122] [00122] [00124] [00127] [00127] [00133] [00137] [00142] [00146] [00154]
**τῆς** [00004] [00005] [00006] [00015] [00015] [00015] [00029] [00031] [00033] [00033] [00040] [00048] [00061] [00064] [00064] [00066] [00066] [00074] [00077] [00082] [00091] [00093] [00099] [00101] [00104] [00104] [00110] [00111] [00113] [00122] [00123] [00123] [00127] [00141] [00142] [00142] [00148] [00150] [00151] [00151] [00153] [00153] [00154]
**Τί** [00018] [00059]
**τί** [00077] [00128]
**τι** [00043] [00044]
**τικτομένοις** [00106]
**τικτόμενον** [00108]
**τικτομένου** [00139] [00142]
**τίκτουσαν** [00059]
**τιμὴν** [00142]
**τιμωρίας** [00074]
**Τίς** [00108]
**τις** [00124]
**τὸ** [00008] [00012] [00025] [00025] [00026] [00026] [00045] [00047] [00050] [00063] [00064] [00073] [00074] [00091] [00092] [00093] [00094] [00106] [00125] [00128] [00131] [00132] [00142] [00145] [00150] [00150] [00152] [00152] [00154] [00154] [00154]
**τοιαύτην** [00083]
**Τοιγαροῦν** [00137]
**τοίνυν** [00082]
**τοῖς** [00007] [00007] [00106]
**τοῖχοι** [00138] [00140]
**τολμᾷς** [00072]
**Τολμῶ** [00039]
**τὸν** [00004] [00006] [00010] [00013] [00015] [00041] [00047] [00048] [00065] [00077] [00079] [00082] [00126] [00150] [00151]
**τότε** [00042] [00043]
**τοῦ** [00004] [00010] [00015] [00019] [00022] [00023] [00027] [00029] [00043] [00046] [00047] [00047] [00048] [00051] [00055] [00065] [00065] [00066] [00066] [00068] [00069] [00072] [00073] [00074] [00078] [00091] [00092] [00098] [00098] [00100] [00104] [00107] [00122] [00123] [00123] [00127] [00142] [00142] [00150]
**τοὺς** [00011] [00015] [00125] [00146] [00156]

**τουτέστι** [00065]
**τοῦτο** [00008] [00010] [00017] [00063]
**τούτων** [00066]
**τρέμω** [00090]
**τρέχει** [00102]
**τριχῶς** [00077]
**τροπαῖς** [00055]
**τρόποις** [00007]
**τρόπον** [00150]
**τύπος** [00061]
**τῷ** [00009] [00048] [00055] [00055] [00091] [00110] [00154] [00156] [00156] [00156]
**τῶν** [00009] [00009] [00015] [00016] [00016] [00016] [00046] [00066] [00066] [00066] [00070] [00090] [00098] [00121] [00123] [00125] [00136] [00145] [00146] [00146] [00146] [00146] [00149] [00154] [00156] [00156]

**ὑβρίσθη** [00123]
**ὑδάτων** [00046]
**ὕδωρ** [00045] [00046]
**Υἱὸς** [00050] [00127]
**ὕλης** [00153]
**ὑμᾶς** [00013]
**ὑμεῖς** [00010] [00067]
**ὑμῶν** [00006] [00007]
**ὑπέμεινε** [00035]
**ὑπὲρ** [00145] [00156]
**ὑπέστη** [00037] [00144]
**ὑπηρετησαμένη** [00055]
**ὑπηρετήσῃ** [00051]
**ὑπηρετήσωμεν** [00055]
**Ὕπνον** [00110]
**ὕπνωσεν** [00110]
**ὑπὸ** [00070]
**ὑπόδειγμα** [00063]
**ὑποδησάμενος** [00015]
**ὑποθέμενος** [00006]
**ὑποκειμένης** [00046]
**ὑποκειμένου** [00144]
**ὑπομεῖναι** [00079] [00080]
**ὑπομένει** [00088]
**ὑπονοῆσαι** [00033] [00033]
**ὑπόνοιαν** [00082]
**ὑστέροις** [00029]
**ὑφαίνεται** [00139]
**ὑφάνας** [00094] [00154]
**ὑφασμένην** [00114]
**ὕψει** [00019] [00020] [00021]
**ὑψηλὸν** [00025]
**Ὑψίστου** [00047] [00049]
**ὕψος** [00023] [00024] [00026]

**φαίνεσθαι** [00141]
**φανῆναι** [00137]
**Φεῦ** [00066]
**φεῦ** [00066]
**φησὶ** [00020] [00064] [00078] [00083]
**φησὶν** [00049] [00055]
**φθέγγεσθε** [00010]
**φθορὰν** [00037]
**φιλοθέου** [00006]
**φιλόπαιδες** [00011]
**φιλόπτωχοι** [00005]
**φιλότεκνοι** [00011]
**φιλοτιμίαν** [00005]
**φλέβες** [00095]
**φλεβὸς** [00046]
**φλεβῶν** [00094]
**φλεψὶν** [00114]
**φοβηθῇ** [00136]
**φορᾷ** [00046]
**φρίττετε** [00067]
**Φρίττω** [00090]
**φυγὼν** [00082]
**φύλλα** [00052] [00054]
**φύσει** [00078] [00098]
**φύσεως** [00047] [00048] [00099] [00101] [00111] [00114] [00148] [00150] [00154]
**φυσικὴ** [00106]
**φυσικῷ** [00152]
**φύσιν** [00028] [00028] [00029] [00029] [00042] [00051] [00052] [00055] [00055] [00055] [00055] [00056] [00064] [00064] [00069] [00074] [00077] [00086] [00099] [00100] [00101] [00101] [00101] [00102] [00102] [00102] [00102] [00133] [00135] [00136] [00146]
**φύσις** [00040] [00042] [00043] [00051] [00091] [00095] [00101] [00102] [00151]
**φυτὰ** [00146]
**φωνῇ** [00016]
**φωνὴν** [00008]

**Χαλδαίων** [00136]
**χάρις** [00048]
**χειμάῤῥους** [00046]
**χειμῶνος** [00053]
**χεῖρας** [00152]
**χειρὶ** [00074]
**χερσὶν** [00151]
**χοῦν** [00151] [00152]
**Χριστὸν** [00077]
**Χριστὸς** [00104]
**Χριστοῦ** [00027] [00065] [00066] [00072] [00073] [00074] [00139]
**χρόνος** [00053]
**χρόνῳ** [00154]
**χρώμασιν** [00150]
**χρωμάτων** [00146] [00149]
**Xontra** [00001]

**ψηλαφήσας** [00073]
**ψηλαφῶντες** [00074]
**ψυχὴν** [00131] [00152]
**ψυχῆς** [00006]
**ψυχωθῆναι** [00129]

ὣ [00039]
ὧ [00018] [00077] [00087] [00128]

**Ὣ** [00018] [00039]
**ὧδε** [00064]
**ὠδῖνας** [00154]
**ὢν** [00006]
**ὤν** [00073]
**ὧν** [00124] [00126]
**ὡς** [00009] [00009] [00016] [00018] [00029] [00060] [00069] [00076] [00088] [00094] [00097] [00102] [00140] [00141] [00151] [00154]
**ὥσπερ** [00033] [00048]
**Ὥσπερ** [00046] [00056] [00064] [00122] [00135] [00149] [00153]
**ὦτα** [00152]